ὁ τότε τῆς διακρίσεως λογισμός; καὶ πόθεν ὕστερον εἰς τὸ
τῆς ἑνώσεως ἠλλοιώθησαν; εἴπερ γὰρ πρότερον πρὸς τὸ ἡκεῖ
deest aliquid, forte ἑαυτὸν vel τὸ αὐτοῦ. συμφέρον καὶ ἑαυτοῦ καὶ τοῦ πλάσματος συνετήρει ἑκάτε-
ρος ἀνεπίμικτον, ἢ ἀσύμφορον ὁρῶντες ἐκεῖθεν ἐσωφρονί-
σθησαν πρὸς τὴν ἕνωσιν. καὶ πόσας ἄλλας δυσσεβείας τε
καὶ ἀνοίας βρύει ἡ πρώτη τῆς πλάνης ὑπόθεσις; Οὐ
θεομάχον τε καὶ ἐμμανὲς καὶ ἀνόητον, τὸ ἄλλον μὲν τῆς
ψυχῆς, ἕτερον δὲ τοῦ σώματος δημιουργὸν τερατεύεσθαι.
l. φάσκειν Τὸ δὲ φάσκον τοὺς ἐν τῇ πλάνῃ κατεχομένους, ὡς ἐν-
κλεῖ ἡμᾶς πρὸς κακίαν ὁ πονηρός, τῆς ἀληθείας
ἐστὶν ἀλλ' οὐ τῆς πλάνης ὁδός. καὶ γὰρ καὶ αὐτὸ τοῦτο
τὸ παρατραπῆναι μερίζειν ἡμᾶς τὴν ἄτμητον καὶ
ἀδιαίρετον τοῦ θεοῦ ἀρχὴν καὶ ἐξουσίαν εἰς δύο, τῆς πο-
λυμηχάνου καὶ σφοδρᾶς ὀχλήσεως ἐστὶ τοῦ πονηροῦ. Πλὴν
ἐκεῖνος μὲν δυνατός ἐστιν ὀχλεῖν, οὐδ' ἡμεῖς ἀδυνατοῦμεν
διακρούεσθαι τὴν ὄχλησιν αὐτοῦ. Διακρουόμεθα δὲ διά τε
σώματος καὶ ψυχῆς. Ὥστε εἰ τὸ σῶμα ἡμῶν δύναται δια-
κρούσασθαι τὴν ὄχλησιν τοῦ πονηροῦ, καὶ οὐ διακρούσασθαι μό-
νον, ἀλλὰ καὶ καταβαλεῖν αὐτοῦ πᾶσαν μηχανήν· πῶς
ἐστὶν ἐκεῖνος πλάστης αὐτοῦ; Τὸ μὲν γὰρ ποίημα τοῦ θεοῦ
ἐντολῆς ὀλιγωρῆσαι δεσποτικῆς, καὶ τῆς ἀπάτης γενέσ-
θαι τοῦ ἐχθροῦ, γνώμης ἐστὶ τῆς ἐπ' ἄμφω ῥέπειν ἐν τῇ πλά-
σει δεδομένης ἡμῖν. Αὐτεξούσιον γὰρ ἡ ψυχή. καὶ ἰδοὺ
τέθεικα πρὸ προσώπου σου τὸν θάνατον, καὶ τὴν ζωήν.
Τὸ δὲ ἤδη τὴν ὁλοκληρίαν ἔχον τοῦ κακοῦ, πῶς ὅσον τι
ἐστὶ καταστρατηγῆσαι τῆς ἀρχῆς; Πόθεν γὰρ κρεῖττον οὐκ
ἔχον ἐξέσῃ τοῦ χείρονος; Πῶς δὲ πρὸς τὸ κρεῖττον ἔκλινε, καὶ
τῆς